οὕτως οὐδὲ τὸ ἐν τῇ γραμμῇ ἐλάχιστον, ὅπερ ἐστὶ τὸ πέρας καὶ ἡ στιγμὴ, πρὸς γραμμὴν συγκρινόμενον ἔσται τι. ὥστε οὐχ ἁρμόσει μὲν ἐπὶ γραμμῆς τὸ ἐλάχιστον. ἡ στιγμὴ δ' ἐν αὐτῇ ὡς πέρας ἔσται, καὶ τὸ ἐλάχιστον· ὅπερ οὐκ ἂν εἴη πρὸς τὴν γραμμὴν συμβαλλόμενον. οὐκ ἄρα ἔσται γραμμὴ ἄτομος.

A ita nec quod minimum est lineæ vllum momentum attulerit, punctum scilicet. Nam id substātiæ lineæ prorsus addit nihil. Quamobrem quod minimum quiddam appellatur, ea appellatio lineæ non quadrabit: in ipsa vero id, quod punctum, & terminus nuncupatur, rectè minimum appellari poterit, nihil scilicet lineæ adferens. Ex quo sequitur, lineam indiuiduam nullam existere.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ ΞΕΝΟΦΑΝΟΥΣ, ΠΕΡΙ Ζήνωνος, περὶ Γοργίου.

## ΠΕΡΙ ΞΕΝΟΦΑΝΟΥΣ.

### Κεφάλαιον α.

ΑΙΔΙΟΝ εἶναί φησιν εἴ τι ἔστιν, εἴπερ μὴ ἐνδέχεται γενέσθαι μηδὲν ἐκ μηδενός. εἴτε γὰρ ἅπαντα γέγονεν, εἴτε μὴ πάντα ἐπ' ἀμφοτέρων. ἐξ οὐδενὸς γὰρ          αὐτῶν ἂν γινόμενα. ἁπάντων τε γὰρ γινομένων, οὐδὲν προϋπάρχειν. εἰ τῶν τινων ἀεὶ ἕτερα προσγίνοιτο, πλέον ἂν καὶ μεῖζον τὸ ἓν γεγονέναι. ᾧ δὴ πλέον καὶ μεῖζον, τοῦτο γενέσθαι ἂν ἐξ οὐδενός. τῷ γὰρ ἐλάττονι τὸ πλέον, ἢ δ' ἐν τῷ μικροτέρῳ τὸ μεῖζον οὐχ ὑπάρχειν. ἀΐδιον δὲ ὄν, ἄπειρον εἶναι, ὅτι οὐκ ἔχει ἀρχὴν ὅθεν ἐγένετο, οὐδὲ τελευτὴν εἰς ὃ γινόμενον ἐτελεύτησέ ποτε· πᾶν γὰρ ἄπειρον, ἓν εἶναι. εἰ γὰρ πλέον ἢ δύο εἴη, πέρατα εἶναι ταῦτα πρὸς ἄλληλα. ἓν δὲ ὅμοιον εἶναι πάντα. εἰ γὰρ ἀνόμοια πλείω ὄντα, οὐκ ἂν ἔτι ἓν θεῖναι, ἀλλὰ πολλά. ἀΐδιον δὲ ὄν, μέτριόν τε καὶ ὅμοιον πάντῃ ἀκίνητον εἶναι τὸ ἕν. οὐ γὰρ ἂν κινηθῆναι, μὴ ἔτι [ὑποχωρῆσαν] ὑποχωρῆσαι δὲ, ἀνάγκην εἶναι ἤτοι εἰς πλῆρες ὄν, ἢ κενόν. τούτων δὲ τὸ μὲν οὐκ ἂν δέξασθαι τὸ πλῆρες, τὸ δὲ οὐκ εἶναι οὐδὲν ἢ τὸ κενόν. τοιούτων δὲ ὄντων ἀνωδύνων τε καὶ ἀναλγήτων, ὑπὸ ἑς          καὶ ἀνόθεν εἶναι, οὔτε μετακοσμούμενον θέσει, οὔτε ἑτεροιούμενον εἴδει, οὔτε μιγνύμενον ἄλλῳ. κατὰ πάντα γὰρ ταῦτα, πολλά τε τὸ μὴ ὂν γίνεσθαι, καὶ τὸ μὴ ὂν τεκνοῦσθαι, καὶ τὸ ὂν φθείρεσθαι ἀναγκάζεσθαι. ταῦτα δὲ ἀδύνατα εἶναι. καὶ γὰρ εἰ τὸ μεμῖχθαι τι ἓν ἐκ πλειόνων λέγοιτο, καὶ εἴη πολλὰ κινούμενα εἰς ἄλληλα τὰ πράγματα, καὶ ἡ μίξις ἢ ὡς ἐν ἑνὶ, σύνθεσις εἴη τῶν πλειόνων, ἢ τῇ ἀπαλλάξει, οἷον ἐπιπρόσθεσις γίνοιτο τῶν μιχθέντων, ἐκείνοις μὲν ἂν δι' ἀλλήλων χωριζόντων εἶναι τὰ μιχθέντα. ἐπιπροσθέσεως δ' οὔσης ἐν τῇ τρίψει, γίνεσθαι ἂν ἕκαστον φανερόν, ἀφαιρουμένων τῶν πρώτων τὸ ὑπ' ἄλληλα τεθέντα τῶν μιχθέντων· ὧν οὐδέτερον συμβαίνειν. διὰ τοῦτον δὲ τὸν τρόπον κἂν εἶναι πολλὰ κἂν ἡμῖν, ὡς τὸ φαίνεσθαι μόνως. ὥστε ἐπειδὴ οὐχ οἷόν τε οὕτως, οὐδὲ πολλὰ δυνατὸν εἶναι τὰ ὄντα, ἀλλὰ ταῦτα δοκεῖν· οὐκ ὀρθῶς. πολλὰ γὰρ καὶ ἄλλα κατὰ τὴν αἴσθησιν φαντάζεσθαι ἄπασαν. λόγον δ' οὔτε ἀναιρεῖ τὰ αὐτὰ γίνεσθαι, οὔτε πολλὰ εἶναι τὸ ὄν, ἀλλ' ἀΐδιόν τε καὶ ἄπειρον, καὶ πάντῃ ὅ-